7 ’Αγαπητοί, ἀγαπῶμεν ἀλλήλους, ὅτι ἡ ἀγάπη

ἐκ τοῦ θεοῦ ἐστιν, καὶ πᾶς ὁ ἀγαπῶν

ἐκ τοῦ θεοῦ γεγέννηται καὶ γινώσκει τὸν

θεόν. 8 ὁ μὴ ἀγαπῶν οὐκ ἔγνω τὸν

θεόν, ὅτι ὁ θεὸς ἀγάπη ἐστίν.

9 ἐν τούτῳ ἐφανερώθη ἡ ἀγάπη τοῦ θεοῦ

ἐν ἡμῖν, ὅτι τὸν υἱὸν αὐτοῦ τὸν

μονογενῆ ἀπέσταλκεν ὁ θεὸς εἰς τὸν

κόσμον ἵνα ζήσωμεν δι’ αὐτοῦ. [10] ἐν
τούτῳ ἐστὶν ἡ ἀγάπη, οὐχ ὅτι ἡμεῖς
ἠγαπήκαμεν τὸν θεὸν ἀλλ’ ὅτι αὐτὸς
ἠγάπησεν ἡμᾶς καὶ ἀπέστειλεν τὸν υἱὸν
αὐτοῦ ἱλασμὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν.
[11] ’Αγαπητοί, εἰ οὕτως ὁ θεὸς ἠγάπησεν
ἡμᾶς, καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν.

## Vocabulary For I John 4

4:9 **μονογενής, -ές** – (adjective) – unique, only, single of its kind
**ἀποστέλλω** – (verb) – I send away